# TEZAUR LITURGIC

## 14 IUNIE

## GHERASIM MIKRAGHIANANITUL

# PARACLISUL SF.PROROC ELISEI

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΠΡΟΦΗΤΗΝ ΕΛΙΣΣΑΙΟΝ

**Ποίημα Γερασίμου Μοναχού Μικραγιαννανίτου**

Ευλογήσαντος του Ιερέως, το κύριε εισάκουσον, μεθ' ό το Θεός Κύριος και το εξής.Ήχος δ'. Ο υψωθείς εν τω Σταυρώ.

Ως φοιτητής και κοινωνός των χαρίτων, ως Ελισσαίε Ηλιού του Θεσβίτου και δωρεών του Πνεύματος θησαύρισμα, πάσης απολύτρωσαι, δυσπραγίας και βλάβης, και παντοίων θλίψεων, και δεινών νοσημάτων, τους την σεπτήν σου μνήμην ευλαβώς, επιτελούντες, Προφήτα Μακάριε.

Δόξα, το αυτό. Και νυν. Θεοτοκίον.

Ου σιωπήσωμεν ποτέ Θεοτόκε...

Είτα ο Ν' ψαλμός και ο Κανών, ου η Ακροστιχίς:

«Ελισσαίε ημάς διασώζοις, Γερασίμου Μ. Μ.»

Ωδή α'. Ήχος πλ. δ'. Υγράν διοδεύσας.

Ευχαίς σου Προφήτα προς τον Θεόν, διάσωζε πάντας, των εν βίω δυσχερειών, τους πίστει και πόθω Ελισσαίε, τη ιερά σου πρεσβεία προστρέχοντας.

Λαμπόμενος φέγγει τω νοητώ, παθών την ομίχλην, και την νύκτα των πειρασμών, απέλασον μάκαρ Ελισσαίε, και χαρμονής τας ψυχάς ημών πλήρωσον.

Ισχύν ημίν δίδου κατά ψυχήν, ως αν των εν βίω περιστάσεων χαλεπών, και πάσης ανάγκης και κακίας, περιγενώμεθα μάκαρ θεόληπτε.

Θεοτοκίον.

Σαρκί εξ αιμάτων σου των αγνών, προήλθεν ο Λόγος, ασυγχύτως, σωματωθείς, και έλυσε Κόρη την κατάραν, και την ειρήνην τω κόσμω εβράβευσε.

Ωδή γ’. Ουρανίας αψίδος.

Σκεύος εύχρηστον ώφθης, του παντουργού Πνεύματος, μάκαρ Ελισσαίε Προφήτα, βίου λαμπρότητι˙ όθεν τα πνεύματα, της πονηρίας διώκεις, της αυτών κακώσεως, ημάς λυτρούμενος.

Ακατάσειστον τείχος, ως αληθώς γένοιτο, η ση κραταιά προστασία, Προφήτα ένδοξε, πάσαν εκτρέπουσα, καθ’ ημών βλάβην και πλάνην, των εορταζόντων σου, μνήμην την πάνσεπτον.

Ιδού πάντες συνήλθον, οι ευσεβείς Άγιε, πίστει και θερμή ευλαβεία, πανηγυρίζοντες, την θείαν μνήμην σου, ους ουρανόθεν ευλόγει, Ελισσαίε πάνσοφε, ως συμπαθέστατος.

Θεοτοκίον.

Εξ αγνών σου αιμάτων, δια πολύ έλεος, ημίν ωμοιώθη, ατρέπτως, ο Υπερούσιος, και ώφθη άνθρωπος, ανακαλούμενος κόσμον, προς ζωήν την άφθαρτον, μόνη Πανύμνητε.

Διάσωσον πάσης ανάγκης και βλάβης τη ση πρεσβεία, ώ Ελισσαίε, Θεού Προφήτα πανθαύμαστε, τους εκζητούντας την θείαν σου προστασίαν.

Επίβλεψον εν ευμενεία…

Κάθισμα. Ήχος β’. Πρεσβεία θερμή.

Πρεσβεύειν αεί, Θεώ, τω πανοικτίρμονι, μη παύση σοφέ, ως άγαν συμπαθέστατος, ρύεσθαι πάσης θλίψεως, και ποικίλων σκανδάλων του όφεως, τους σε τιμώντας, πίστει θερμή, Προφήτα Ελισσαίε πάνσοφε.

Ωδή δ’. Εισακήκοα Κύριε.

Ηλιού ως απέλαβες, χάριν την πλουσίαν, Προφήτα ένδοξε, τας ψυχάς ημών χαρίτωσον, και την λύπην πάσαν διασκέδασον.

Μνημονεύειν προς Κύριον, μάκαρ, μη ελλείπεις των μεμνημένων σου, ως αν θείας παρακλήσεως, ταις σαις ικεσίαις μετασχοίημεν.

Ασθενούσι την ίασιν, και τοις θλιβομένοις την απολύτρωσιν, και τοις πάσχουσι την άνεσιν, Ελισσαίε, δίδου ταις πρεσβείαις σου.

Θεοτοκίον.

Σωτηρίας αξίωσον, της κατά την ψυχήν και σώμα, Πανάχραντε, τοις πιστώς σε μεγαλύνουσιν, ως Θεού Μητέρα Πανακήρατον.

Ωδή ε'. Φώτισον ημάς.

Δύναμιν λαβών, ιαμάτων την θεόσδοτον, Ελισσαίε υποφήτα θαυμαστέ, τας ιάσεις πάσι νέμεις δαψιλέστατα.

Ίδε συμπαθώς, και παράσχου τα αιτήματα, Ελισσαίε, ως θεράπων του Χριστού, τους εν πίστει προσιούσι τη εικόνι σου.

Άνωθεν ημάς, εποπτεύεις μάκαρ ίλεως, τους τελούντάς σου την μνήμην την φαιδράν, και τιμώντας, Ελισσαίε, την εικόνα σου.

Θεοτοκίον.

Σκέπασον Αγνή, των βελών του πολεμήτορος, τους προστρέχοντας εν πίστει ακλινεί, Θεοτόκε, τη πλουσία σου χρηστότητι.

Ωδή ς’. Την δέησιν.

Ως μύστης και φοιτητής θεοφόρος, Ηλιού του θαυμαστού εν Προφήταις, ώ Ελισσαίε, συν τούτω δυσώπει, πάσης ανάγκης λυτρούσθαι, και θλίψεως, τους εορτάζοντας λαμπρώς, την αγίαν και πάνσεπτον μνήμην σου.

Ζηλώσας τας ευκλεείς αριστείας, Ελισσαίε Ηλιού του Θεσβίτου, πεπληρωμένος χαρίτων μυρίων, παρά Θεού ανεδείχθης θεόληπτε, εξ ών μετάδος και ημίν, εις υγείαν ψυχής τε και σώματος.

Επίβλεψον ουρανόθεν, Προφήτα, εφ’ ημάς τους την σην μνήμην τελούντας, ενί εκάστω παρέχων ως οίδας της ευλογίας της σης τα δωρήματα, και τας ποικίλας του εχθρού, καθ’ ημών επινοίας αφάνισον.

Θεοτοκίον.

Ιάτρευσον την νοσούσαν ψυχήν μου, Θεοτόκε, Αειπάρθενε, Κόρη, και τον του σώματος κούφισον πόνον, ταις μητρικαίς σου πρεσβείαις προς Κύριον, και λάμπρυνόν με τω φωτί, της αγίας σου δόξης, Πανάχραντε.

Διάσωσον πάσης ανάγκης και βλάβης τη ση πρεσβεία, ώ Ελισσαίε, Θεού Προφήτα πανθαύμαστε, τους εκζητούντας την θείαν σου προστασίαν.

Άχραντε η δια λόγου…

Κοντάκιον.Ήχος β'. Τοις των αιμάτων σου.

Ως δεδεγμένος την χάριν του Πνεύματος, ώ Ελισσαίε Προφήτα θαυμάσιε, μη παύση παρέχων εκάστοτε, την σην οξείαν, εν πάσιν αντίληψιν, τοις πόθω τιμώσι την μνήμην σου.

Προκείμενον.

Μη άπτεσθε των χρηστών μου, και εν τοις προφήταις μου μη πονηρεύεσθε.

Στίχ. Θαυμαστός ο Θεός…

Εκ του κατά Λουκάν ιδ'.

Τω καιρώ εκείνω, εθαύμαζον οι όχλοι επί τοις λόγοις της χάριτος, τοις εκπορευομένοις εκ του στόματος του Ιησού και έλεγον˙ Ουχ ούτος εστίν ο Υιός Ιωσήφ; Και είπε προς αυτούς˙ Πάντως ερείτέμοι την παραβολήν ταύτην˙ Ιατρέ, θεράπευσον σεαυτόν˙ όσα ηκούσαμεν γενόμενα εν τη Καπερναούμ, ποίησον και ώδε εν τη πατρίδι σου. Είπε δε˙ Αμήν λέγω υμίν, ότι ουδείς προφήτης

δεκτός εστίν εν τη πατρίδι αυτού. Επ’ αληθείας δε λέγω Υμίν, πολλαί χήραι ήσαν εν ταις ημέραις Ηλιού εν τω Ισραήλ, ότε εκλείσθη ο ουρανός επί έτη τρία και μήνας έξ, ως εγένετο λιμός μέγας επί πάσαν την γην και προς ουδεμίαν αυτών επέμψθη Ηλίας, ει μη  εις Σαρεπτά της Σιδώνος, προς γυναίκα χήραν. Και πολλοί λεπροί ήσαν επί Ελισσαίου του Προφήτου εν τω Ισραήλ˙ και ουδείς αυτών εκαθαρίσθη, ειμή Νεεμάν ο Σύρος. Και επλήσθησαν πάντες θυμού, εν τη Συναγωγή, ακούοντες ταύτα. Και αναστάντες εξέβαλον αυτόν, έξω της πόλεως και ήγαγον αυτόν έως της οφρύος του όρους, εφ’ ού η πόλις αυτών ωκοδόμητο, εις το κατακρημνίσαι αυτόν. Αυτός δε, διελθών δια μέσου αυτών, επορεύετο.

Δόξα. Ταις του σου Προφήτου...

Και νυν. Ταις της Θεοτόκου...

Προσόμοιον. Ήχος πλ. β’ Όλην αποθέμενοι.

Στίχ. Ελέησόν με ο Θεός...

Όργανον θεόπνευστον, της θεϊκής επιπνοίας, Ελισσαίε Πάνσοφε, Ηλιού του Μάκαρος ομοδίαιτε, συν αυτώ πρέσβευε, τω Θεώ των όλων στάσεων, τοις πίστει άφεσιν, και απολύτρωσιν, των οδυνηρών περιστάσεων, τοις

πίστει καταφεύγουσι, τη ση αντιλήψει και χάριτι˙ συ γαρ παρρησίαν, μεγίστην κεκτημένος προς Χριστόν, παρέχεις πάσι τα πρόσφορα, δωρεάν τοις χρίζουσι.

Ωδή ζ'. Οι εκ της Ιουδαίας.

Συνεργός και ομόπνους Ηλιού του εν πάσι πυρ θείον πνέοντος, θεόφρον Ελισσαίε, σαφώς γεγενημένος, τω πυρί της πρεσβείας σου, την φρυγανώδη ημών, κατάφλεξον κακίαν.

Γεωργείν την αγάπην, προς Θεόν και τον πέλας, Προφήτα ένδοξε, και πάσαν ευπραγίαν, εν ήθεσιν αμέμπτοις και εν τρόποις χρηστότητος, δίδου αξίως ημίν, τοις σε υμνολογούσι.

Εν δυνάμει θαυμάτων, και λαμπρότητι βίου φανείς περίδοξος, παρέχεις Ελισσαίε, παντός καλού την δόσιν, και προφθάνεις εκάστοτε, τους εκζητούντας θερμώς, την χάριν σου, Προφήτα.

Θεοτοκίον.

Ρώσιν δίδου Παρθένε, και παθών πολυτρόπων την απολύτρωσιν, τοις πίστει ανυμνούσι, τα θεία μεγαλεία, των πολλών θαυμασίων σου, ευλογημένη Αγνή, του κόσμου σωτηρία.

Ωδή η’. Τον Βασιλέα.

Ασθενημάτων, και θλιβερών των εν βίω, περιστάσεων απάλλαξον Προφήτα, τους υμνολογούντας, τας θείας αρετάς σου.

Συν ευλαβεία, την ιεράν σου εικόνα λιτανεύοντες, Προφήτα Ελισσαίε, την σην εκζητούμεν ταχείαν προστασίαν.

Ίασαι μάκαρ, την της ψυχής μου οδύνην, και του σώματος το άλγος και τον πόνον, ως πλουσίαν χάριν, λαβών παρά Κυρίου.

Θεοτοκίον.

Μήτηρ εδείχθης, εν παρθενία τεκούσα, τον τα σύμπαντα Αγνή παραγαγόντα, ώ προσάγοις Κόρη, τους σε υμνολογούντας.

Ωδή θ’. Κυρίως Θεοτόκον.

Ολόφωτος η χάρις, της σης προστασίας, εφαπλουμένη, Προφήτα θεσπέσιε, καθαγιάζει και θάλπει τους σε γεραίρονας.

Υψόθεν Ελισσαίε, πατρική ευνοία, των αιτημάτων την πλήρωσιν βράβευε, και των εν βίω σκανδάλων ημάς απάλλαττε.

Μη παύση Ελισσαίε, αεί προστατεύων, συν τω Θεσβίτη Ηλία, εκάστοτε των προσιόντων εν πίστει υμών τη χάριτι.

Θεοτοκίον.

Μαρία Θεοτόκε, Κεχαριτωμένη, των ικετών σου την δέησιν, πρόσδεξαι, και πάσι δίδου πλουσίως την σην βοήθειαν.

Το Άξιόν εστί, και τα Μεγαλυνάρια.

Στήλη καλών έργων αναδείχθεις, Ηλία τω θείω, εκοινώνησας της ζωής, και διπλήν εδέξω, την χάριν ουρανόθεν, Προφήτα Ελισσαίε αξιοθαύμαστε.

Λόγων υπακούσας των Ηλιού, κατέλιπες πάντα, Ελισσαίε θερμή ψυχή, και αυτώ φοιτήσας, εφέσει ανενδότω, των δωρεών επλήσθης του θείου Πνεύματος.

Χαίροις σεμνού βίου λαμπρά εικών, προφητών το κλέος, Ελισσαίε θαυματουργέ: χαίροις ο εγείρας νεκρούς ώσπερ εξ ύπνου, και πάντας καταπλήξας τοις σοις χαρίσμασι.

Είδες επαιρόμενον από γης, άρματι πυρίνω τον Ηλίαν τον θαυμαστόν, και διπλής επλήσθης, χάριτος Ελισσαίε, την μηλωτήν εκείνου, πιστώς δεξάμενος.

Ίδε τους τελούντας πανευλαβώς, την σεπτήν σου μνήμην Ελισσαίε θαυματουργέ, και παράσχου πάσι, τοις πόθω συνελθούσι, τας μυστικάς εκφάνσεις, της προμηθείας σου.

Χαίρετε, Προφήται Θεού σεπτοί. Ηλία παμμάκαρ, Ελισσαίε τε θαυμαστέ, ημών οι προστάται, και έφοροι εν πάσι, και προς Θεόν μεσίται και πρέσβεις άριστοι.

Πάσαι των Αγγέλων αι στρατιαί…

Το Τρισάγιον, μεθ' ό το Απολυτίκιον του Αγίου.

Ήχος δ'. Ταχύ προκατάβαλε.

Τη κλήσει προσέδραμες, τη του Θεσβίτου θερμώς, και πλήρης γεγένησαι, των θεϊκών δωρεών, λαμπρότητι βίου σου˙ όθεν εθαυμαστώθης, Ελισσαίε Προφήτα, θαύμασι παραδόξοις, ώ θεράπων Κυρίου, Ώ πρέσβευε δεόμεθα, υπέρ των ψυχών ημών.

Είτα εκτενής και απόλυσις˙ μεθ' ήν το εξής:

Ήχος β'. Ότε εκ του ξύλου.

Πάντας τους προστρέχοντας πιστώς, μάκαρ Ελισσαίε Προφήτα, αξιοθαύμαστε, τη θερμή πρεσβεία σου, ανενδοιάστω ψυχή, πάσης θλίψεως λύτρωσαι, και πάσης ανάγκης, και των περιστάσεων, των χαλεπών και πικρών, δίδου δε υγείαν κατ' άμφω, ρώσιν και ειρήνην τελείαν, και από Θεού πταισμάτων άφεσιν.

Δέσποινα, πρόσδεξαι…

Την πάσαν ελπίδα μου…

Δίστιχον.

Ελισσαίε πρόσδεξαι τόνδε τον ύμνον

Όν σοι Γεράσιμος εξύφανεν ήδη.

